Μονὴ Κυρίκου κ. Ἰουλίττης ἐν Σωζοπόλει 1368

† Μηνὶ Ἰουνίῳ ἰνδ. ς' †.

Acta Patr. Const. T. A' σ. 487.

† Ἐπεὶ ὁ τιμιώτατος ἐν μοναχοῖς κῦρ Διονύσιος
ὁ Τζαμπλάκων, ἀγοραστικῶς κατὰ ἔνταλμα ὑπὸ τῆς ἡ-
μῶν μετριότητος, ἀνήνεγκε καὶ ἐζήτησε τὴν ἡμῶν
μετριότητα, τὸ ἐν τῇ Σωζοπόλει πατριαρχικὸν
μοναστήριον, εἰς ὄνομα τιμώμενον τῶν ἁγίων μαρ-
τύρων Κυρίκου καὶ Ἰουλίττης, ποιησάμενος ἔγγρα-
φον ὑπόσχεσιν πρὸς τὴν ἡμῶν μετριότητα, ἵνα
πρῶτον μὲν γένηται παρ' αὐτοῦ ἐν τῇ τοιαύ-
τῃ μονῇ κατὰ τὰ ἐμπεριεχόμενα τῇ τοιαύ-
τῃ ὑποσχέσει αὐτοῦ, ἔπειτα καὶ ὅσα ἀφορῶσιν εἰς
βελτίωσιν καὶ πρὸς τὸ μέλλον ἐπίδοσιν τῆς τοιαύ-
της μονῆς δι' οἰκείων αὐτοῦ ἐξόδων, ὥστε ἐπανα-
γαγεῖν πάλιν αὐτὴν εἰς τὴν προτέραν κατά-
στασιν, ἐλαττωθεῖσαν ἐξ ἀμελείας τῶν πρώην
ἡγουμενικῶς προστατούντων αὐτῆς, κἀντεῦθεν εὑ-
ρίσκηται ἀμετασαλεύτως ὡς καθηγούμενος καὶ οἰ-
κονόμος, ἕως ἂν περιῇ τῷ βίῳ, διδῷ δὲ καὶ πρὸς
τὸ μέρος τῆς Ἀνακαινίσεως τὰ συνήθη τοῦ μεγά-
λου οἰκονόμου ἐκείνου, ὅσα συνεφώνησε καὶ αὐτὸς
διδόναι πρὸς αὐτήν, ἔγνωσαν δίκαιον ἡ μετρι-

κιόν εἰς τὴν μονήν, ὡς δίκαιον τὸ πρὸς αὐτὸν
πρότερον γεγονὸς γράμμα τῆς ἡμῶν μετριότη-
τος, καὶ ἐπὶ τῇδε τῇ ὑποσχέσει αὐτοῦ ἐδέξατο τὴν
ζήτησιν αὐτοῦ ἡ μετριότης ἡμῶν, ἤδη ἀπολύ-
ει τὸ παρὸν εἰσιτήριον γράμμα πρὸς αὐτόν, δι'
οὗ παραγγέλλεται ἐν ἁγίῳ πνεύματι, ἵνα τῶν
δύο τούτων γινομένων παρ' αὐτοῦ κατὰ τὴν
ῥηθεῖσαν ὑπόσχεσιν, τῆς τε δηλονότι δι' οἰκεί-
ων αὐτοῦ ἐξόδων βελτιώσεως καὶ πρὸς τὸ κρεῖτ-
τον ἐπιδόσεως τοῦ μοναστηρίου καὶ τῆς πρὸς τὴν
τοιαύτην [illegible] δόσεως, καθὼς συνεφώ-
νησε μετ' αὐτῶν, εὑρίσκηται ἐφ' ὅρῳ τῆς αὐτοῦ
ζωῆς ὁ ἱερομόναχος οὗτος κὺρ Διονύσιος εἰς τὴν
ἡγουμενείαν τῆς τοιαύτης μονῆς, καὶ ἔχῃ τὴν κα-
τοχὴν καὶ διοίκησιν αὐτῆς ἀμεταποιήτως, μετὰ δὲ
τὴν αὐτοῦ ἀποβίωσιν εὑρίσκηται πάλιν τὸ μο-
ναστήριον ὑπὸ τὴν πατριαρχικὴν ἐξουσίαν, ὅ-
θεν ὀφείλουσιν ὅ τε προηγούμενος καὶ οἱ ἐκεῖ μοναχοὶ
ἀποδιδόναι αὐτῷ τὴν προσήκουσαν τιμὴν καὶ εὐπείθει-
αν καὶ ὑπακοὴν αὐτῷ, ἐφ' ὅσον ἂν μέχρι ζωῆς αὐτοῦ
καὶ ἡγουμεῦσθαι, ἀφορῶσιν εἰς βοήθειαν αὐτοῦ καὶ
ἐπίδοσιν τῶν προσόντων τῇ τοιαύτῃ σεβασμίᾳ μο-
νῇ. εἰ δ' ἴσως ὁ προηγούμενος οὗτος οὐκ ἐθέλει τὴν
ὀφειλομένην αὐτῷ ὑπακοὴν ἀποδιδόναι, ἀλλ' ἀχ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ρεῖν εἰς ὀχληρὰς ἢ σκάνδαλα, εἰ μὲν οὐδὲν ἀσεπί-
ροντο κατὰ μοναχοὺς ἐν τῇ τοιαύτῃ μονῇ, ἔχειν ἄδει-
αν τοῦ τοιούτου καθηγουμένου κὺρ Διονύσιον ἐκβάλ-
λειν αὐτὸν τοῦ μοναστηρίου. εἰ δὲ ἐν αὐτῷ περιεβάλ-
λετο τὰ τῶν μοναχῶν, ἀναφέρειν τὰ περὶ αὐτοῦ τοῦ-
δε τοῦ καθηγουμένου τῇ ἡμῶν μετριότητι ἢ γί-
νεσθαι παρ᾽ αὐτοῦ τὴν προσήκουσαν διόρθωσιν. ὀ-
φείλει δὲ διδόναι οὗτος ἢ τὸ σύνηθες κανονικὸν ἢ
τὸ κανίσκιον εἰς τὸ πατριαρχικὸν κελλίον †.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ